www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ.ΜΠΟΥΣΙΑ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΑΘΩΝΙΤΗΝ

ΤΟΝ ΕΝ Τῌ ΜΟΝῌ ΤΩΝ  ΕΡΕΩΝ ΤΗΣ ΠΑΦΟΥ

ΕΠΙ ΔΙΕΤΙΑΝ ΑΣΚΗΣΑΝΤΑ

*

*

*   *   *   *   *

*

*

ΑΘΗΝΑΙ 2001

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΝ ΤΟΝ ΑΘΩΝΙΤΗΝ

## ΤΟΝ ΕΝ Τῌ͂ ΜΟΝῌ͂ ΤΩΝ ΙΕΡΕΩΝ ΤΗΣ ΠΑΦΟΥ

## ΕΠΙ ΔΙΕΤΙΑΝ ΑΣΚΗΣΑΝΤΑ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ Ε´ Ἰουλίου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**********************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ "Κύριε εἰσάκουσον ", μεθ' ὅ τὸ "Θεὸς Κύριος", ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος πλ. δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Ὡς τῶν ὁσίων ἐγκαλλώπισμα θεῖον
καὶ τῶν ἐν Ἄθῳ ἀπλανῆ ποδηγέτην,
θεόπνουν Ἀθανάσιον, πιστοί, ἐκτενῶς
μέλψωμεν κραυγάζοντες· ὁ Μονὴν Ἱερέων
ἁγιάσας σκάμμασι θεαρέστοις, μὴ παύσῃ
ἐκδυσωπῶν Θεὸν ὑπὲρ ἡμῶν
τῶν εὐφημούντων σὴν πάνσεπτον ἄσκησιν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν´ Ψαλμὸς καὶ ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς·**

" Μονῆς Ἱερέων κλέος, Ἀθανάσιε, σκέπε με.
Χ."

**Ὠδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.**

Μονὴν ὁ οἰκήσας, ἐγκρατευτά,
τῆς τῶν Ἱερέων,
Ἀθανάσιε θαυμαστέ,
τοῦ Ἄθωνος εὔλαλον στρουθίον,
ὑπὲρ ἡμῶν ἐκδυσώπει τὸν Κύριον.

Οὐ παύω ὑμνῶν σου τὰς ἀρετὰς
καὶ πόνους ἀόκνους
πρὸς τελείωσιν ἐν Χριστῷ,
ἡμῶν ἐν τοῖς κλύδωσι προστάτα
τοῦ βίου, Ἄθωνος δᾷς, Ἀθανάσιε.

Νοός μου ἀπόπλυνον σαῖς εὐχαῖς
τὸν ῥύπον, τρισμάκαρ
Ἀθανάσιε, ὁ Μονὴν
σαφῶς ἁγιάσας Ἱερέων
τὴν ἐν τῇ Πάφῳ ἱδρώτων σου χεύμασιν.

**Θεοτοκίον**

Ἡ μόνη ἁπάντων βροτῶν ἐλπίς,
Κεχαριτωμένη,
Θεοτόκε, τῶν σῶν εὐχῶν
τῇ ῥάβδῳ ὁδήγησον οἰκέτας
τοὺς σοὺς πρὸς κήπους τερπνοὺς ἀφθαρτότητος.

**Ὠδὴ γ´. Οὐρανίας ἀψῖδος.**

Συμπαθέστατε πάτερ,
Ἀθωνιτῶν καύχημα,
εὐμενῶς ἐπίβλεψον τάχος
ἐπὶ τοὺς πρόσφυγας
τοὺς σοὺς καὶ ῥῦσαι δεινῶν

καὶ πειρασμῶν ψυχοκτόνων,
πάτερ Ἀθανάσιε,
τοὺς ἀνυμνοῦντάς σε.

Ἱερέων τῆς Πάφου
Μονῆς σεπτὸν κόσμημα,
ἄλυπον ζωὴν καὶ εἰρήνην
πᾶσι πρυτάνευσον
τοῖς μελῳδοῦσι λαμπρῶς
τοὺς ἱερούς σου καμάτους,
πάτερ Ἀθανάσιε,
καὶ σὴν ἐνάσκησιν.

Ἐπομβρίαις εὐχῶν σου
ἡμῶν παθῶν κάμινον
σβέσον, Ἀθανάσιε, τάχος
καὶ προστασίας σου
τῷ φέγγει λύχνον ψυχῆς
ἡμῶν διάναψον ὄντα
ἐσβεσμένον, ὅσιε,
ἵνα γεραίρω σε.

**Θεοτοκίον**

Ῥυπωθεὶς τῇ κακίᾳ,
Μῆτερ Θεοῦ ἄχραντε,
σοῦ τοῦ θείου Τόκου εἰκόνα,
φεῦ, κατεμόλυνα·
ῥοαῖς οὖν σαῖς ῥυπτικαῖς
ἀπόπλυνόν μου τὸν ῥύπον
τῆς ψυχῆς καὶ σῶσόν με,
Θεογεννήτρια.

Ὑπόδειξον
ἀθανασίας τὰς τρίβους τοῖς σοῖς ἱκέταις,
Ἀθανάσιε ἱερέ, τοῦ Ἄθωνος σέμνωμα
καὶ κλέϊσμα Μάνδρας τῶν Ἱερέων.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν

καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Θεράπων Χριστοῦ καὶ φίλε γνησιώτατε,
προστάτης πιστῶν ὑπάρχεις ἀπροσμάχητος,
μάκαρ Ἀθανάσιε,
τῶν ὁσίων ἔμπνουν ἀγλάϊσμα·
ἐξ ἀδοκήτων ὅθεν συμφορῶν
τοὺς σπεύδοντας λύτρωσαι σῇ χάριτι.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Ἐπιγνώσεως ἄνοιξον
θύραν, Ἀθανάσιε, τοῖς ἱκέταις σου,
Ἀθωνῖτα τρισμακάριστε,
τοῖς ἐν ἀγνωσίᾳ νῦν καθεύδουσιν.

Ὡς νοσούντων ἀνάῤῥωσιν
καὶ συντετριμμένων, σοφέ, ἀνόρθωσιν
σὲ ὑμνοῦντες, Ἀθανάσιε,
τὰς θερμὰς εὐχάς σου ἐξαιτούμεθα.

Νεκρωθέντα με ζώωσον
πλείστοις ἀνομήμασιν, Ἀθανάσιε,
καὶ πρὸς εὔκλειάν με ἴθυνον
οὐρανῶν λιταῖς σου, Ἀθανάσιε.

**Θεοτοκίον**

Κέρας, Μῆτερ, ἀνύψωσον
τῶν πιστῶν καὶ θραῦσον ὀφρὺν τοῦ δράκοντος
καὶ δολίου πολεμήτορος,
Κεχαριτωμένη ἀειπάρθενε.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Λάμψον μοι τὸ φῶς
μετανοίας, Ἀθανάσιε,

ὁ πυρσεύμασι φαιδρύνας ἀρετῶν
τὴν Μονὴν τῶν Ἱερέων τὴν περίδοξον.

Ἔλαμψας αὐγαῖς
ἐν τῇ Κύπρῳ σῆς ἀσκήσεως,
Ἀθανάσιε· διὸ αὐτῆς λαοῦ
λύεις ζόφον ἁμαρτάδων σαῖς δεήσεσι.

Ὅρμον σε ἡμεῖς
ἀκλυδώνιστον γνωρίζομεν
τρικυμίαις οἱ ποντούμενοι δειναῖς,
τῶν ψυχῶν οἰακοστρόφε, Ἀθανάσιε.

**Θεοτοκίον**

Στήριξον ἡμᾶς
ῥάβδῳ θείας προστασίας σου,
Θεοτόκε, τοὺς προσφεύγοντας ἀεὶ
σαῖς ἐνθέρμοις πρὸς τὸν Κύριον ἐντεύξεσιν.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Ἀκέστορα τῶν ψυχῶν σε ἔγνωμεν
καὶ σωμάτων, Ἀθανάσιε μάκαρ,
καὶ ἀκαθάρτων πνευμάτων διώκτην,
θεοειδὲς Ἀθωνῖτα, ὁ χάριτι
τῶν Ἱερέων τὴν Μονὴν
τὴν σεπτὴν ἁγιάσας τοῦ Πνεύματος.

Θησαύρισμα ἀρετῶν πολύολβον,
Ἀθανάσιε, ὁ χάριτι θείᾳ
ἀξιωθεὶς γυναιξὶ κοινωνῆσαι
καὶ τὸ αὐτῶν μὴ θεάσασθαι πρόσωπον,
ἀξίωσόν με τοῦ ἐχθροῦ
τὰς παγίδας φυγεῖν τοῦ κακόφρονος.

Ἀπείραστον τῆς ἐχθροῦ κακότητος,
Ἀθανάσιε, ἱκέτας σου τήρει
τὸν καταφεύγοντα σῇ προστασίᾳ,
ὁ ἐν τῇ Κύπρῳ εὑρὼν καταφύγιον

τῶν Ἱερέων τὴν Μονήν,
ἥν εὐχῆς ἐργαστήριον ἔδειξας.

**Θεοτοκίον**

**Ν**ῦν μέλπομεν σὲ ὡς εὐθαλέστατον
ξύλον ῥόδον ἐξανθίσαν εὐῶδες
τὸ καθηδῦνον ὑφήλιον πᾶσαν
τῇ εὐωδίᾳ Αὐτοῦ ἀγαθότητος,
Θεοκυῆτορ ἀγαθή,
τοῦ Θεοῦ Λόγον τὸν ἐνυπόστατον.

**Ὑ**πόδειξον
ἀθανασίας τὰς τρίβους τοῖς σοῖς ἱκέταις,
Ἀθανάσιε ἱερέ, τοῦ Ἄθωνος σέμνωμα
καὶ κλέϊσμα Μάνδρας τῶν Ἱερέων.

**Ἐ**πίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Τ**ὴν εὐκοσμίαν ὁσίων τοῦ Ἄθωνος
καὶ μοναστῶν ὁδηγὸν ἀπλανέστατον,
τιμῶντες σοφὸν Ἀθανάσιον,
ἀναβοῶμεν· εὐκλείας ἀξίωσον
ἡμᾶς ἀθανάτου σοὺς πρόσφυγας.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 23 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου
πεδινοῦ....
**Ζήτει τῇ ἑορτῇ τοῦ Μεγάλου Ἀντωνίου.**

**Δόξα.** Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,...

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ελεῆμον,...

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Οἰκιστὰ θεόφιλε
Μονῆς σεπτῆς Ἱερέων,
φίλεργε, ἀκάματε,
προσευχῆς καὶ νήψεως
ἐργαστήριον,
κτίτορ περίδοξε
τῆς Μεγίστης Λαύρας
καὶ σεμνότητος κειμήλιον,
τοὺς σοὶ προσφεύγοντας
σκέπε ἐν τῷ βίῳ ἀείποτε
καὶ ἀσινεῖς τοῦ δράκοντος
τήρει τῶν βελῶν , θεοφρούρητε,
ἵνα εἰς αἰῶνας
γεραίρωμεν τὴν μνήμην σου λαμπρῶς
καὶ τὰ σεπτά σου παλαίσματα
μέλπωμεν πρὸς θέωσιν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἀθανάτου τραπέζης
καὶ τρυφῆς ἀπολαύων
τῆς ὑπὲρ ἔννοιαν
ἐξάρπασον παγίδος
ἐχθροῦ τοῦ παλαμναίου
τοὺς πιστῶς, Ἀθανάσιε,
σαῖς ἀσιγήτοις εὐχαῖς
προσφεύγοντας ἐν τάχει.

Σωτηρίας τὴν τρίβον
ὡς ποιμὴν ὑποδείξας
ἐφεπομένοις σου
τοῖς λόγοις, θεοφόρε,

ὁδὸν ὑπόδειξόν μοι
σωστικήν, Ἀθανάσιε,
τῶν Ἱερέων Μονῆς
ἰσάγγελε οἰκῆτορ.

Ἱδρυτὰ τῆς Μεγίστης
ἐν τῷ Ἄθωνι Λαύρας
ὁ καταφύγιον
Μονὴν τῶν Ἱερέων
εὑρὼν ἐν νήσῳ Κύπρῳ,
ῥιζοτόμησον πάθη μου
δρεπάνῃ σῶν πρεσβειῶν
πρὸς τὸν Θεὸν τῆς δόξης.

**Θεοτοκίον**

Ἐλεήμονος Λόγου
τοῦ Θεοῦ τοῦ Ὑψίστου
Μῆτερ πανάχραντε,
Κυρία Θεοτόκε,
χαρίτωσον τὰς φρένας
καὶ καρδίας τῶν δούλων σου,
ἵνα ὁδὸν προσευχῆς
ὁδεύσωμεν ἀόκνου.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Στῦλε ἁγνείας
καὶ οὐρανίου σοφίας,
Ἀθανάσιε, στήριξον πάντας
σὲ ὑμνολογοῦντας
τῷ τοῦ Κυρίου φόβῳ.

Κῆπον χαρίτων
ποιήσας σοῦ τὴν καρδίαν
ἀγρυπνίᾳ, εὐχῇ καὶ νηστείᾳ,
Ἀθωνῖτα, πάντας
κατεύφρανον ὀσμαῖς σου.

Ἔλαμψας ὄρθρος
ὡς χρυσαυγὴς ἐν τῇ Πάφῳ,

Ἀθανάσιε, τῆς ῥαθυμίας
ἀπελαύνων ζόφον
φωτὶ σῆς ἐργασίας.

**Θεοτοκίον**

Πεποικιλμένη
τῇ θείᾳ δόξῃ, Παρθένε,
τῶν ψυχῶν ἡμῶν παίδων χιτῶνα
ἄσπιλον προνοίᾳ
τῇ σῇ ἀόκνῳ τήρει.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἐνθέων χαρισμάτων
ἔκτυπον καὶ σκεῦος
φωτὸς ἀΰλου, σοφὲ Ἀθανάσιε,
χαρίτων ἔμπλησον θείων τοὺς σοὶ προσφεύγοντας.

Μεγίστης εὐκληρίας
κατηξιωμένος
τῆς δυστυχίας παθῶν ἀπολύτρωσαι
τοὺς πρόσφυγάς σου, πανόλβιε Ἀθανάσιε.

Ἐπάκουσον, παμμάκαρ,
ἱκετῶν εὐχῶν σου
καὶ ἐκ τῆς Κύπρου ὀρδὰς ἀποδίωξον
Ἄγαρ υἱῶν ἐπιβούλων, ὦ Ἀθανάσιε.

**Θεοτοκίον**

Χριστοῦ τῆς πολιτείας
καὶ σεπτοῦ Υἱοῦ σου
δούλους τοὺς σοὺς μιμητὰς δεῖξον, Δέσποινα,
εὐλογημένη Παρθένε, Θεογεννήτρια.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυναρία.**

Χαίροις, Ἀθανάσιε ἱερέ,
ὁ οἰκήσας Μάνδραν

Ἱερέων τὴν εὐκλεῆ
ἔσχατος ὡς πάντων
ἀζύγων καὶ ἱδρώτων
αὐτὴν καθαγιάσας
σῶν θείοις χεύμασι.

**Χ**αίροις, Ἐκκλησίας λαμπρὸς φωστήρ,
χαίροις, μονοτρόπων
ἐγκαλλώπισμα ἱερόν,
χαίροις, τῆς Μεγίστης
τῆς Λαύρας ὁ δομήτωρ
ὁ θεαυγὴς καὶ μέγα
Ἄθωνος καύχημα.

**Χ**αίροις, ἐγρηγόρσεως λαμπηδών,
χαίροις, ἀκηδίας
ὀλετήριον τὸ δριμύ,
χαίροις, ἡσυχίας
τὸ φωτοφόρον σέλας,
πατέρων εὖχος θείων,
ὦ Ἀθανάσιε.

**Μ**ὴ γενέσθαι βάρος τοῖς μοναχοῖς
σὲ φιλοξενοῦσιν,
Ἀθανάσιε, ἐν Μονῇ
Ἱερέων θέλων
ἐργόχειρον εἰργάζου
ἀόκνως, ταπεινόφρον
πάτερ, πανθαύμαστε.

**Ἄ**θωνος τὸ ὄρος καταλιπὼν
προσελιμενίσθης
εἰς τὴν Κύπρον καὶ τὴν Μονὴν
ᾤκησας ἐν Πάφῳ
σεπτὴν τῶν Ἱερέων,
ἀθανασίας, πάτερ,
θείας ἐπώνυμε.

**Χ**αίροις, μυροβόλος ὄντως λειμὼν
τῆς Χριστοῦ ἀγάπης,
Ἀθανάσιε, καὶ τερπνὸν

www.tezaurliturgic.ro


προσευχῆς, νηστείας
καὶ ἀπαθείας κῆπος,
ὁ εὐωδίᾳ πᾶσι
πνέων οὐράνιον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὸν κρατῆρα χαρίτων Θεοῦ ἀείῤῥυτον
καὶ ἀθανάτου εὐκλείας
τὸν κληρονόμον λαμπρῶς
Ἀθωνίτην Ἀθανάσιον τιμήσωμεν
ὡς ἐγρηγόρσεως φανόν,
ταπεινώσεως πυρσὸν
καὶ στῦλον χρηστοηθείας,
Χριστὸν δυσώπει βοῶντες
ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Ἴσθι ἀντιλήπτωρ καὶ φρουρὸς
καὶ θερμὸς πρὸς Κτίστην μεσίτης
τῶν προστρεχόντων πιστῶς
σκέπῃ τῇ ἁγίᾳ σου,
θεόφρον ὅσιε,
Ἀθωνῖτα περίδοξε,
Μονῆς Ἱερέων
οἰκιστὰ καὶ στήριγμα
λαοῦ ἀκλόνητον,
ἵνα, Ἀθανάσιε, πάντες
σοῦ ὑμνολογῶμεν ἀγῶνας
τοὺς ἀδιαλείπτους σου πρὸς θέωσιν.

www.tezaurliturgic.ro


Δέσποινα, πρόσδεξαι......

Τὴν πᾶσαν ἐλπίδα μου.....

**Δίστιχον**

Ἀλήκτου εὐκλείας βοᾷ Χαραλάμπης,
Ἀθωνῖτα, ἀξίωσον Νικηφόρον.

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι   Δ Ο Ξ Α**

**Τ Ω   Μ Ο Ν Ω   Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω   Η Μ Ω Ν**

